Κείμενα των Αγίων Πατέρων για την αντιμετώπιση των προβλημάτων που δημιουργεί η οικονομική κρίση



«Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν»

Ψαλμὸς πδ' (84,11)

Ἱερὰ Μητρόπολις
Καισαριανῆς, Βύρωνος καὶ Ὑμηττοῦ
Καισαριανὴ 2010

«Ἔλεος καὶ ἀλήθεια συνήντησαν,
δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν»

Ψαλμὸς πδ΄ (84,11)

Ἐπιμέλεια:
Μητροπολίτου Καισαριανῆς, Βύρωνος καὶ Ὑμηττοῦ
Δανιὴλ

Σειρά:
«Πνοή» ἀριθμ. 6

Copyright:
Ἱερὰ Μητρόπολις Καισαριανῆς, Βύρωνος καὶ Ὑμηττοῦ.
Λεωφόρος Ὑμηττοῦ 47-51, Τ.Κ. 161 21 Καισαριανὴ
Τηλ.: 210.72.24.123
www.imkby.gr e-mail: info@imkby.gr

ISBN: 978-960-6841-42-2

Ψηφιακή Παραγωγή
Εὐαλόφος
ΕΠΤΑΛΟΦΟΣ Α.Β.Ε.Ε.
Ἀριστοτέλ. 12-16, 116 36 Ἀθήνα
Τηλ.: 210.921.7513, 210.921.4820 • Fax: 210.923.7033
www.eptalofos.gr • e-mail: info@eptalofos.gr

«Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν»

Ψαλμὸς πδ΄ (84,11)

ΚΕΙΜΕΝΑ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ ΓΙΑ ΤΗΝ ΑΝΤΙΜΕΤΩΠΙΣΗ ΤΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ ΠΟΥ ΔΗΜΙΟΥΡΓΕΙ Η ΟΙΚΟΝΟΜΙΚΗ ΚΡΙΣΗ

τοῦ Μητροπολίτου
Καισαριανῆς, Βύρωνος καὶ Ὑμηττοῦ
Δανιὴλ

Πολλά εἶναι τά προβλήματα πού προκαλεῖ ἡ οἰκονομική κρίση πού διερχόμαστε. Εὑρισκόμαστε ἐνώπιον ἑνός ἐκρηκτικοῦ φαινομένου, πού δέν γνωρίζουμε πότε καί πῶς θά ἀντιμετωπισθεῖ. Τό φαινόμενο προσβάλλει τήν ἀνθρώπινη ὕπαρξη καί τήν προσωπική ἀξιοπρέπεια.


Οἰκογένειες καί πρόσωπα πίπτουν σέ ἐσχάτη ἔνδεια, καθώς ἡ φτώχεια ἁπλώνεται, ὥστε νά στεροῦνται καί τά ἀπαραίτητα γιά νά συντηρηθοῦν στή ζωή. Οἱ πληροφορίες καί τά στοιχεῖα πού καθημερινῶς δημοσιεύονται συνθέτουν μιά εἰκόνα γεμάτη πόνο, δάκρυα, ἀγωνία, δυστυχία, ἀπόγνωση, ἀποκλεισμό καί στέρηση ἀπό στοιχειώδη κοινωνικά

ἀγαθά. Ἡ κρίση δοκιμάζει τούς κοινωνικούς θεσμούς καί τούς προσωπικούς δεσμούς μας.

Σέ παρόμοιες περιόδους κατά τήν δισχιλιετῆ ἐκκλησιαστική ἱστορία ἡ Ἐκκλησία ἀνακούφιζε, συμπαραστεκόταν παντοιοτρόπως σ' ὅσους χειμάζονταν ἀπό τήν ἀνέχεια καί πολλές ἄλλες αἰτίες.

Στήν ἐκκλησιαστική γραμματεία διασώθηκαν περίφημοι λόγοι τῶν ἁγίων πατέρων τῆς Ἐκκλησίας μας, πού στηλιτεύουν τήν πλεονεξία καί ἀπληστία τῶν πλουσίων, τήν ἀδιαφορία γιά τούς πτωχούς καί ἐξαίρουν τήν ἐλεημοσύνη καί φιλαδελφία.

Ἐπιλέξαμε καί παραθέτουμε ὡρισμένα ἀποσπάσματα ἀπό τούς λόγους τῶν ἁγίων Πατέρων μας γιά νά τά μελετήσουμε καί νά μᾶς βοηθήσουν ὅλους νά ἀποκτήσουμε τό ἦθος πού ἀπαιτεῖ ἡ ἰδιότητα μας ὡς μελῶν τῆς Ἐκκλησίας.





«Κατα τοκιζοντων»

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ

- **Ἡ κοινωνικὴ ἐκμετάλλευση αἰτία τῆς φτώχειας καὶ τῆς δυστυχίας τῶν πολλῶν.**
- **Ἀνώφελο νὰ δημιουργῆς πολλοὺς φτωχοὺς μὲ τὴν ἐκμετάλλευση καὶ ν᾽ ἀνακουφίζῃς ἕνα μὲ τὴν ἐλεημοσύνη.**

ΚΕΙΜΕΝΟ

«Ἀργὸς καὶ πλεονεκτικὸς βίος ὁ τοῦ τοκίζοντος. Οὐκ οἶδε πόνον γεωργίας, οὐκ ἐπίνοιαν ἐμπορίας· ἐφ᾽ ἑνὸς δὲ τόπου κάθηται, τρέφων ἐπὶ τῆς ἑστίας θηρία. Ἄσπαρτα αὐτῷ βούλεται τὰ πάντα καὶ ἀνήροτα φύεσθαι· ἄροτρον ἔχει τὸν κάλαμον· χώραν, τὸν χάρτην· σπέρμα, τὸ μέλαν· ὑετόν, χρόνον, αὐξάνοντα αὐτῷ λανθανόντως τὴν τῶν χρημάτων ἐπικαρπίαν. Δρέπανόν ἐστιν αὐτῷ ἡ ἀπαίτησις· ἄλων, ἡ οἰκία, ἐφ᾽ ἧς λεπτύνει τὰς τῶν θλιβομένων οὐσίας.

Τὰ πάντα ἴδια βλέπει. Εὔχεται τοῖς ἀνθρώποις ἀνάγκας καὶ συμφοράς, ἵνα πρὸς αὐτὸν ἠναγκασμένως ἀπέλθωσι. Μισεῖ τοὺς ἑαυτοῖς ἀρκοῦντας, καὶ τοὺς μὴ δεδανεισμένους ἐχθροὺς ἡγεῖται. Προσεδρεύει τοῖς δικαστηρίοις, ἵνα εὕρῃ τὸν στενούμενον τοῖς ἀπαιτηταῖς, καὶ τοῖς πράκτορσιν ἀκολουθεῖ, ὡς ταῖς παρατάξεσι καὶ τοῖς πολέμοις οἱ γῦπες. Περιφέρει τὸ βαλάντιον, καὶ δείκνυσι τοῖς πνιγομένοις τῆς θήρας δέλεαρ, ἵν᾽ ἐκείνῳ διὰ τὴν χρείαν περιχήναντες, συγκαταπίωσι τοῦ τόκου τὸ ἄγκιστρον. Καθ᾽ ἡμέραν ἀριθμεῖ τὸ



ΕΡΜΗΝΕΙΑ

Ἀργόσχολη καί πλεονεκτική εἶναι ἡ ζωή τοῦ τοκιστῆ. Δέ γνωρίζει αὐτός τούς κόπους τῆς γεωργίας οὔτε τήν ἐφευρετικότητα τοῦ ἐμπορίου. Ἀντίθετα (ἀπό ὅ,τι συμβαίνει μ' ὅσους ἀσκοῦν παραγωγικά ἐπαγγέλματα), ὁ τοκιστής κάθεται στόν ἴδιο πάντοτε τόπο, μέσα στό σπίτι του μεγαλώνει τά θρεφτάρια τῆς κερδοσκοπίας. Ἄσπαρτα κι' ἀκαλλιέργητα θέλει τά πάντα γι' αὐτόν νά φυτρώνουν. Γι' ἀλέτρι ἔχει τήν πέννα· γιά χωράφι, τό χαρτί· γιά σπόρο, τό μελάνι· γιά βροχή, τό χρόνο πού τοῦ πολλαπλασιάζει ἀθόρυβα τούς τόκους τῶν χρημάτων. Δρεπάνι του εἶναι ἡ δικαστική ἀπαίτηση τοῦ χρέους, ἁλώνι, τό σπίτι του ὅπου λιανίζει τίς περιουσίες τῶν ἀναγκεμένων ἀνθρώπων.

Ὁλωνῶν τ' ἀγαθά τά βλέπει δικά του. Εὔχεται στούς ἀνθρώπους ἀνάγκες καί συμφορές γιά νά τρέξουν ὑποχρεωτικά νά δανεισθοῦν ἀπ' αὐτόν. Μισεῖ τούς αὐτάρκεις κι' ὅσους δέν ἔχουν δανεισθῆ ἀπ' αὐτόν, τούς θεωρεῖ ἐχθρούς του. Συχνάζει στά δικαστήρια γιά ν' ἀνακαλύψη κάποιον πού τόν πιέζουν οἱ δανειστές του καί τούς φοροεισπράκτορες ἀκολουθεῖ, ὅπως τά κοράκια τούς στρατούς πού διεξάγουν πόλεμο (γιά νά τρῶνε τούς σκοτωμένους). Κουβαλάει παντοῦ τό κομπόδεμα, καί σάν δόλωμα τό δείχνει σ'

κέρδος, καὶ τῆς ἐπιθυμίας οὐκ ἐμπίπλαται. Ἄχθεται πρὸς τὸν χρυσὸν τὸν ἐπὶ τῆς οἰκίας ἀποκείμενον, διότι κεῖται ἀργὸς καὶ ἄπρακτος...

Περιεργάζεται ὁ δανειστὴς τοῦ χρεώστου τὰς πράξεις, τὰς ἐκδημίας, τὰ κινήματα, τὰς μεταβάσεις, τὰς ἐμπορίας· κἂν φήμη τις παραγένηται σκυθρωπή, ὅτι λησταῖς ὁ δεῖνα περιέπεσεν, ἢ ἔκ τινος περιστάσεως εἰς πενίαν αὐτῷ μετεβλήθη ἡ εὐπορία, κάθηται, τῷ χεῖρε συνδήσας, στένει συνεχῶς, ὑποδακρύει πολλά· ἀνελίττει τὸ χειρόγραφον, θρηνεῖ ἐν τοῖς γράμμασι τὸν χρυσόν, προσκομίζων τὸ συμβόλαιον, ὡς ἱμάτιον υἱοῦ τελευτήσαντος· ἀπ' ἀκείνου θερμότερον ἐγείρει τὸ πάθος. Ἂν δὲ καὶ ναυτικὸν ᾖ τὸ δάνεισμα, τοῖς αἰγιαλοῖς προσκάθηται, τὰς κινήσεις μεριμνᾶ τῶν ἀνέμων, συνεχῶς διερωτᾷ τοὺς καταίροντας, μή που ναυάγιον ἠκούσθη, μή που πλέοντες ἐκινδύνευσαν. Παχνοῦται τὴν ψυχὴν ἐκ τῶν λειψάνων τῆς καθημερινῆς φροντίδος. Πρός δὴ τὸν τοιοῦτον λεκτέον. Παῦσαι, ἄνθρωπε, μερίμνης ἐπικινδύνου. Ἀνάπαυσαι ἀπὸ ἐλπίδος τηκούσης· μὴ τόκους ζητῶν σαυτῷ τὸ κεφάλαιον διαφθείρῃς. Παρὰ πένητος ζητεῖς προσόδους καὶ προσθήκας πλούτου, παραπλήσιον ποιῶν ὡς εἴ τις ἀπὸ χώρας αὐχμῷ θερμοτάτῳ ξηρανθείσης λαβεῖν θελήσειε σίτου θημωνίας, ἢ πλῆθος βοτρύων ἐξ ἀμπέλου μετὰ νέφος χαλαζηφόρον, ἢ τέκνων τόκον ἀπὸ στείρας γαστρός, ἢ γάλακτος τροφὴν ἐξ ἀτόκων γυναικῶν...

Πῶς οὖν προσεύξῃ, ὁ τοκογλύφος; Μετὰ ποίου συνειδότος αἴτημα ἀγαθὸν ζητήσεις παρὰ Θεοῦ, ὁ πάντα λαμβάνων, καὶ μὴ μαθὼν διδόναι; Ἢ οὐκ οἶδας, ὅτι ἡ προσευχή σου ὑπό-

ἐκείνους πού τούς πνίγει ἡ ἀνάγκη ὥστε, ἀνοίγοντας γι᾽ αὐτό τό στόμα τους, νά καταπιοῦν μαζί καί τό ἀγκίστρι τοῦ τόκου. Καθημερινά μετράει τά κέρδη, μά ἡ δίψα του γιά χρῆμα δέ σβήνενι. Στεναχωριέται γιά τό χρυσάφι πού ἔχει φυλαγμένο στό σπίτι, ἐπειδή μένει ἀχρησιμοποίητο κι᾽ ἀνεκμετάλλευτο...

Περιεργάζεται ὁ δανειστής ὅλες τίς πράξεις τοῦ ὀφειλέτη, τά ταξίδια του, τίς χειρονομίες του, τίς ἐπισκέψεις του, τίς ἐμπορικές συναλλαγές του. Κι᾽ ἄν καμιά δυσάρεστη εἴδηση φθάση, ὅτι δηλ. ὁ τάδε ἔπεσε στούς ληστές, ἤ ὅτι φτώχεψε ξαφνικά ἀπό κάποια ἀτυχία, κάθεται μέ σταυρωμένα τά χέρια, ἀναστενάζει ἀδιάκοπα, χύνει κρυφά μαῦρο δάκρυ· ξετυλίγει τό χρεώγραφο, θρηνεῖ τό χρυσάφι πού ἀντιπροσωπεύουν οἱ γραμμές του, προσκομίζει τό συμβόλαιο σά νά ἦταν ἔνδυμα πεθαμένου παιδιοῦ του· μάλιστα κι᾽ ἀπό ἐκεῖνο, περισσότερη θλίψη τοῦ προκαλεῖ. Ἄν μάλιστα συμβῆ νά ἔχη δανείσει ναυτικούς, κάθεται διαρκῶς κοντά στούς γιαλούς, μελετάει τίς κινήσεις τῶν ἀνέμων, ρωτάει ἐπίμονα ὅσους καταπλέουν, μήπως ἀκούστηκε κανένα ναυάγιο, μήπως κινδύνεψαν πουθενά ναυτικοί; Λυώνει ἡ ψυχή του κάτω ἀπό τό βάρος τῶν καθημερινῶν φροντίδων. Σ᾽ ἕνα τέτοιον ἀξίζει βέβαια νά εἰπωθῆ: Σταμάτα, ἄνθρωπέ μου, τίς ἐπικίνδυνες αὐτές φροντίδες. Λυτρώσου ἀπό τήν ἐξουθενωτική προσδοκία τοῦ κέρδους· πρόσεξε μήπως κυνηγώντας τόκους, δαπανήσης τό πολύτιμο κεφάλαιο πού εἶναι ὁ ἑαυτός σου. Ζητεῖς εἰσοδήματα καί πρόσθετα πλούτη ἀπό τό φτωχό, κάνοντας κάτι ἀνάλογο μ᾽ αὐτόν πού θἄθελε νά πάρη θημωνιές σιτάρι ἀπό χωράφι πού τό ξέρανε ὁ λίβας, ἤ ἄφθονα σταφύλια ἀπό ἀμπέλι ἀπό τό ὁποῖο πέρασε χαλαζοφόρο σύννεφο, ἤ παιδιά ἀπό στείρα κοιλιά ἤ θρεπτικό γάλα ἀπό γυναῖκες πού δέν ἔφεραν παιδί στόν κόσμο...

Πῶς θά προσευχηθῆς λοιπόν, τοκογλύφε; Μέ τί συνείδηση θά ζητήσης ἀπό τό Θεό κάποια εὐεργεσία, σύ πού ἔμα-

μνησις μισανθρωπίας ἐστίν; Τὶ συνεχώρησας, καὶ συγγνώμην αἰτεῖς; Τίνα ἠλέησας καὶ καλεῖς τὸν ἐλεήμονα; Ἂν δὲ καὶ δῷς ἐλεημοσύνην, μισανθρώπου φορολογίας, οὐκ ἀπὸ συμφορῶν ἀλλοτρίων δακρύων γέμοντα καὶ στεναγμῶν; Εἰ ἐγνώριζεν ὁ πένης πόθεν ὀρέγεις τὴν ἐλημοσύνην, οὐκ ἂν ἐδέξατο, ὡς ἀδελφικῶν σαρκῶν γεύεσθαι μέλλων, καὶ αἵματος τῶν οἰκείων· εἶπε δ' ἂν πρὸς σὲ λόγον γέμοντα σώφρονος παρρησίας· Μὴ μὲ θρέψῃς, ἄνθρωπε, ἀπὸ δακρύων ἀδελφικῶν. Μὴ δῷς ἄρτον πένητι, γενόμενον ἀπὸ στεναγμῶν τῶν συμπτώχων. Ἀνάλυσον πρὸς τὸν ὁμόφυλον ὃ κακῶς ἀπήτησας, κἀγὼ ὁμολογήσω τὴν χάριν.

Τὶ ὠφελεῖς, πολλοὺς πτωχοὺς ποιῶν, καὶ ἕνα παραμυθούμενος; Εἰ μὴ πλῆθος ἦν τοκιστῶν, οὐκ ἂν ἦν τὸ πλῆθος τῶν πενομένων. Λῦσόν σου τὴν φατρίαν, καὶ πάντες ἕξομεν τὴν αὐτάρκειαν...».

(P.G. 46, 437-445)

θες ὅλο νά παίρνης καί ποτέ νά μή δίνης; Ἤ μήπως σοῦ διαφεύγει ὅτι ἡ προσευχή σου ἀποτελεῖ ὑπόμνηση τῆς δικῆς σου ἀπανθρωπιᾶς; Ποιά συγχώρηση ἔδωσες καί ζητᾶς συγγνώμην; Ποιόν ἐλέησες κι' ἐπικαλεῖσαι τόν Ἐλεήμονα; Ἀλλά κι' ἄν ἀκόμα προσφέρης ἐλεημοσύνη, σάν προϊόν ἀπάνθρωπης ἐκμεταλλεύσεως, δέν θἆναι καρπός τῶν συμφορῶν τῶν ἄλλων, γεμάτη δάκρυα καί στεναγμούς; Ἄν γνώριζε ὁ φτωχός ἀπό ποῦ προσφέρεις τήν ἐλεημοσύνη, δέν θά τή δεχόταν γιατί θά αἰσθανόταν σά νἄμελλε νά γευθῆ σάρκες ἀδελφικές καί αἷμα συγγενῶν του. Θά σοῦ πετοῦσε δέ κατάμουτρα τοῦτα τά λόγια τά γεμάτα θάρρος καί φρονιμάδα: Μή μέ θρέψης, ἄνθρωπε, ἀπό τά δάκρυα τῶν ἀδελφῶν μου. Μή δώσης στό φτωχό ψωμί, βγαλμένο ἀπό τούς στεναγμούς τῶν ἄλλων φτωχῶν. Μοίρασε στούς συνανθρώπους σου ὅσα μέ ἀδικίες μάζεψες καί τότε θά παραδεχθῶ τήν εὐεργεσία σου.

Ποιό τό ὄφελος, ἄν δημιουργεῖς πολλούς φτωχούς (μέ τήν ἐκμετάλλευση) κι' ἀνακουφίζεις ἕνα (μέ τήν ἐλεημοσύνη); Ἄν δέν ὑπῆρχε τό πλῆθος τῶν τοκογλύφων (τῶν ἐκμεταλλευτῶν γενικά), δέν θά ὑπῆρχε οὔτε ἡ στρατιά τῶν πεινασμένων. Ἄς διαλυθοῦν τά ὀργανωμένα οἰκονομικά συμφέροντα κι' ὅλοι θ' ἀποκτήσουμε τήν οἰκονομική μας αὐτάρκεια.



«ΠΡΟΣ ΤΟΥΣ ΠΛΟΥΤΟΥΝΤΑΣ»

Μ. ΒΑΣΙΛΕΙΟΥ

- **Ἡ τυραννία τῆς ἐξεζητημένης πολυτέλειας.**
- **Ὡς πότε θὰ κυβερνᾶῃ ὁ πλοῦτος ποὺ γεννάει τὸν πόλεμο καὶ γενικότερα τροφοδοτεῖ τὸ πολύμορφο ἠθικὸ καὶ κοινωνικὸ κακό;**

ΚΕΙΜΕΝΟ

«... Τὶ ἀποκριθήσῃ τῷ κριτῇ ὁ τοὺς τοίχους ἀμφιεννύς, ἄνθρωπον οὐκ ἐνδύεις; ὁ τοὺς ἵππους κοσμῶν, τὸν ἀδελφὸν ἀσχημονοῦντα περιορᾷς; ὁ κατασήπων τὸν σῖτον, τοὺς πεινῶντας οὐ τρέφεις; ὁ τὸν χρυσὸν κατορύσσων, τοῦ ἀγχομένου καταφρονεῖς;

Ἐὰν δὲ δὴ καὶ γυνὴ φιλόπλουτος συνοικῇ, διπλασίων ἡ νόσος· τάς τε γὰρ τρυφὰς ἀναφλέγει, καὶ τὰς φιληδονίας συναύξει, καὶ κέντρα ταῖς περιέργοις ἐπιθυμίαις ἐνίησι, λίθους τινὰς ἐπινοοῦσα, μαργαρίτας καὶ σμαράγδους καὶ ὑακίνθους, καὶ χρυσόν, τὸν μὲν χαλκεύουσα, τὸν δὲ ἐξυφαίνουσα, καὶ διὰ πάσης ἀπειροκαλίας τὴν νόσον αὔξουσα.

Οὐ γὰρ ἐκ παρέργου ἡ περὶ ταῦτα σπουδή, ἀλλὰ καὶ νύκτες καὶ ἡμέραι τὰς περὶ τούτων μερίμνας ἔχουσι. Καὶ μυρίοι τινὲς κόλακες, ταῖς ἐπιθυμίαις αὐτῶν ὑποτρέχοντες, συνάγουσι τοὺς ἀνθοβαφεῖς, τοὺς χρυσοχόους, τοὺς μυρεψούς, τοὺς ὑφάντας, τοὺς ποικιλτάς. Οὐδένα χρόνον ἀναπνεῖν δίδωσι τῷ ἀνδρὶ ἐκ τῶν συνεχῶν αὐτῆς ἐπιταγμάτων. Οὐδεὶς



Ε Ρ Μ Η Ν Ε Ι Α

Τί θ' ἀποκριθῆς στό Θεό-Κριτή σύ πού καλύπτεις τούς τοίχους τοῦ σπιτιοῦ σου μέ πολύτιμα ταπέτα καί τό συνάνθρωπό σου δέν τόν ντύνεις οὔτε μέ τά πιό ἀπαραίτητα ροῦχα; Σύ πού στολίζεις ἀκριβά τά ἄλογά σου καί τόν ἀδελφό σου πού δέν ἔχει πῶς νά κρύψη τήν ἀσχήμια του τόν περιφρονεῖς; Σύ πού προτιμᾶς νά σαπίζη τό σιτάρι στήν ἀποθήκη, παρά νά θρέψης τούς πεινασμένους; Σύ πού κρατᾶς θαμμένο στή γῆ τό χρυσάφι καί καταφρονεῖς τόν ἀναγκεμένο συνάνθρωπό σου;

Ἐάν μάλιστα συμπέση καί ἡ γυναίκα τοῦ πλούσιου νά εἶναι φιλάργυρη καί φιλάρεσκη, τότε πιά τό κακό διπλασιάζεται. Γιατί καί τίς ἀπολαύσεις ὑποδαυλίζει καί τίς φιληδονίες μαζί μ' αὐτόν αὐξάνει καί τίς περίεργες ἐπιθυμίες ἐξάπτει, ἐπινοώντας διάφορους πολύτιμους λίθους γιά στολίδια, ὅπως μαργαριτάρια καί σμαράγδια καί ὑάκυνθους καί χρυσάφι πολύ πού ἄλλο τό χρησιμοποιεῖ ἀτόφιο κατάλληλα δουλεμένο, ἄλλο τό κεντάει σέ ὑφάσματα καί γενικά ἐπιδεινώνοντας τήν ἀρρώστια (τῆς πλεονεξίας καί τῆς σπατάλης) μέ κάθε εἴδους ἐξεζητημένη πολυτέλεια.

Γιατί δέν ἀποτελεῖ πάρεργο ἡ ἐντατική φροντίδα γιά ὅλα αὐτά, ἀλλά καί οἱ νύχτες καί οἱ μέρες εἶναι γεμάτες μ' αὐτήν. Κι' ἀκόμα ἀμέτρητοι κόλακες ἐπιστρατεύονται, πρόθυμοι νά

ἐξαρκεῖ πλοῦτος ταῖς γυναικείαις ἐπιθυμίαις ὑπηρετούμενος, οὐδ' ἂν ἐκ ποταμῶν ἐπιρρέῃ...

Ἕως πότε χρυσός, τῶν ψυχῶν ἡ ἀγχόνη, τὸ τοῦ θανάτου ἄγκιστρον, τὸ τῆς ἁμαρτίας δέλεαρ; Ἕως πότε πλοῦτος, ἡ τοῦ πολέμου ὑπόθεσις, δι' ὃν χαλκεύεται ὅπλα, δι' ὃν ἀκονᾶται ξίφη; Διὰ τοῦτον συγγενεῖς ἀγνοοῦσι φύσιν, ἀδελφοὶ κατ' ἀλλήλων φονικὸν βλέπουσι· διὰ τὸν πλοῦτον αἱ ἐρημίαι τοὺς φονευτὰς τρέφουσιν, ἡ θάλασσα τοὺς καταποντιστάς, αἱ πόλεις τοὺς συκοφάντας. Τὶς ἐστιν ὁ ψεύδους πατήρ; τὶς ὁ πλαστογραφίας δημιουργός; τὶς ὁ τὴν ἐπιορκίαν γεννήσας; Οὐχ ὁ πλοῦτος; οὐχ ἡ περὶ τοῦτον σπουδή; Τὶ πάσχετε, ἄνθρωποι; τὶς ὑμῖν τὰ ὑμέτερα εἰς τὴν καθ' ὑμῶν ἐπιβουλὴν περιέτρεψε; Συνεργία πρὸς τῷ ζῆν. Μὴ γὰρ ἐφόδια κακῶν ἐδόθη τὰ χρήματα; Λύτρον ψυχῆς. Μὴ γὰρ ἀφορμὴ ἀπωλείας; Ἀλλ' ἀναγκαῖος ὁ πλοῦτος διὰ τοὺς παῖδας. Εὐπρόσωπος ἀφορμὴ πλεονεξίας αὕτη· τοὺς γὰρ παῖδας προβάλλεσθε,



Ἡ παραβολὴ τοῦ Λαζάρου.

τρέξουν νά ἱκανοποιήσουν τίς ἀτέλειωτες ἐπιθυμίες της, νά συγκεντρώσουν τούς βαφεῖς, τούς χρυσοχόους, τούς ἀρωματοποιούς, τούς ὑφαντές, τούς διακοσμητές. Μέ τίς συνεχεῖς προσταγές της οὔτε μιά στιγμή δέν ἀφίνει τόν ἄνδρα της ν' ἀναπνεύση. Κανένας πλοῦτος δέν ἐπαρκεῖ γιά νά ἱκανοποιήση τίς γυναικεῖες ἐπιθυμίες, ἀκόμα κι' ἄν τρέχη σάν ποτάμι...

Ὡς πότε θἆναι παντοδύναμο τό χρυσάφι, τῶν ψυχῶν ἡ ἀγχόνη, τ' ἀγκίστρι τοῦ θανάτου, τῆς ἁμαρτίας τό δόλωμα; Ὡς πότε θά κυβερνάη ὁ πλοῦτος, ἡ αἰτία τοῦ πολέμου, γιά τόν ὁποῖο κατασκευάζονται ὅπλα, γιά τόν ὁποῖο ἀκονίζονται ξίφη; Ἐξ αἰτίας τοῦ πλούτου συγγενεῖς λησμονοῦν τούς φυσικούς δεσμούς τῆς συγγένειας, ἀκόμα κι' ἀδελφοί ἀλληλοϋποβλέπονται μέ φονικές διαθέσεις. Χάριν τοῦ πλούτου οἱ ἐρημιές τρέφουν τούς ληστές, ἡ θάλασσα τούς πειρατές καί οἱ πόλεις τούς συκοφάντες. Ποιός εἶναι ὁ πατέρας τῆς ψευτιᾶς; Ποιός ὁ δημιουργός τῆς πλαστογραφίας; Ποιός ὁ γεννήτορας τῆς ἐπιορκίας; Δέν εἶναι ὁ πλοῦτος, δέν εἶναι ἡ ἀγωνιώδης μέριμνα γιά τήν ἀπόκτησή του; Τί παθαίνετε ταλαίπωροι ἄνθρωποι; Ποιός ἔκαμε ὥστε, τά οἰκονομικά μέσα πού ἔχουν προορισμό νά σᾶς ὑπηρετοῦν, νά στραφοῦν ἐναντίον σας (ἀπό ὑπηρέτες δηλ. νά γίνουν δυνάστες σας); Σύνεργα γιά τή συντήρηση τῆς ζωῆς εἶναι. Μήπως δόθηκαν σάν ἐργαλεῖα τοῦ κακοῦ τά χρήματα; Λύτρα εἶναι γιά τήν ἀπελευθέρωση τῆς ψυχῆς ἀπό τήν ἁμαρτία. Μήπως δόθηκαν γιά νά γίνουν αἰτία ἀπώλειας; Ἀλλά, θά ἰσχυρισθοῦν οἱ πλούσιοι, ὁ πλοῦτος εἶναι ἀναγκαῖος γιά τήν ἐξασφάλιση τῶν παιδιῶν. Εὔσχημη πρόφαση πλεονεξίας ὁ ἰσχυρισμός αὐτός. Προβάλλετε δηλ. σάν δικαιολογία τά παιδιά, ἐνῶ στήν πραγματικότητα ἀποκαλύπτετε τίς βαθύτερες διαθέσεις τῆς καρδιᾶς σας. Μή φορτώνεις τίς προσωπικές σου εὐθύνες στόν ἀθῶο. Ἔχει κι' αὐτός τό δικό του Κριτή (στόν ὁποῖο θά λογοδοτήση γιά τίς προσωπικές πράξεις του). Ἔχει τό δικό του Προνοητῆ πού φροντίζει γι' αὐτόν. Ἀπό ἄλλον (τόν Θεό) πῆρε τή φλόγα τῆς ζωῆς, ἀπ' αὐτόν περιμένει καί τά ὑλικά ἐφόδια τά ἀπα-

τὴν δὲ καρδίαν πληροφορεῖτε. Μὴν αἰτιῶ τὸν ἀναίτιον· ἴδιον ἔχει δεσπότην, ἴδιον ἔχει οἰκονόμον· παρ' ἄλλου τὴν ζωὴν ἐδέξατο, παρ' αὐτοῦ τὰς ἀφορμὰς ἀναμένει τοῦ βίου. Μὴ τοῖς γεγαμηκόσιν οὐκ ἐγράφη τὰ εὐαγγέλια. Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς;

Ὅτε ᾔτεις παρὰ τοῦ Κυρίου τὴν εὐπαιδίαν, ὅτε ἠξίου γενέσθαι τέκνων πατήρ, ἆρα προσέθηκας τοῦτο. Δός μοι τέκνα, ἵνα παρακούσω τῶν ἐντολῶν σου; δὸς μοι τέκνα ἵνα μὴ φθάσω εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; Τὶς δὲ καὶ ἐγγυητὴς ἔσται τῆς τοῦ παιδὸς προαιρέσεως, ὅτι εἰς δέον χρήσεται τοῖς δοθεῖσι;

Πολλοῖς γὰρ ὁ πλοῦτος ὑπηρέτης ἀκολασίας ἐγένετο. Ἢ οὐκ ἀκούεις τοῦ Ἐκκλησιαστικοῦ λέγοντος· Εἶδον ἀρρωστίαν δεινήν, πλοῦτον φυλασσόμενον τῷ παρ' αὐτοῦ εἰς κακίαν αὐτῷ; καὶ πάλιν, ὅτι Ἀφίω ἐγὼ αὐτὸν τῷ ἀνθρώπῳ τῷ μετ' ἐμὲ· Καὶ τὶς οἶδεν εἰ σοφὸς ἔσται, ἢ ἄφρων; Ὅρα δὴ οὖν μή, μετὰ μυρίων πόνων τὸν πλοῦτον ἀθροίσας, ὕλην ἁμαρτημάτων ἑτέροις παρασκευάσῃς, εἶτα εὑρεθῇς διπλὰ τιμωρούμενος, ὧν τε αὐτὸς ἠδίκησας, καὶ ὧν ἕτερον ἐφωδίασας. Μὴ οὐχὶ παντὸς τέκνου οἰκειοτέρα σοὶ ἐστιν ἡ ψυχή; Μὴ οὐχὶ πάντων μᾶλλον εἰς οἰκειότητα προσεγγίζει; Πρώτη αὐτῇ ἀπόδος τὰ πρεσβεῖα τῆς κληρονομίας, πλουσίας αὐτῇ παράσχου τὰς ἀφορμὰς τῆς ζωῆς· καὶ τότε τοῖς παισὶ διαιρήσεις τὸν βίον. Οἱ μέν γε παῖδες παρὰ γονέων μὴ διαδεξάμενοι, ἑαυτοῖς πολλάκις οἴκους ἐποίησαν· ἡ ψυχὴ δέ, παρὰ σοῦ ἐγκαταλειφθεῖσα, παρὰ τίνος ἐλεηθήσεται;...»

(P.G. 31, 288-300).

ραίτητα γιά τή συντήρησή του. Μήπως γιά τούς παντρεμένους δέν ἰσχύει αὐτό πού εἶναι γραμμένο στά Εὐαγγέλια: *«Ἄν θέλεις νά εἶσαι τέλειος, πούλησε τά ὑπάρχοντά σου καί μοίρασε τά χρήματα στούς φτωχούς;»*

Ὅταν ζητοῦσες ἀπό τόν Θεό τήν εὐτεκνία, ὅταν ζητοῦσες ἐπίμονα νά γίνης πατέρας παιδιῶν, ἄραγε, πρόσθεσες καί τοῦτο: δός μου παιδιά γιά νά παρακούσω τίς ἐντολές σου; Δός μου παιδιά γιά νά μήν ἀξιωθῶ νά φτάσω στήν οὐράνια βασιλεία σου; Ἀλλ' ἐκτός αὐτοῦ, ποιός σοῦ ἐγγυᾶται γιά τίς καλές διαθέσεις τοῦ παιδιοῦ, ὅτι δηλ. θά χρησιμοποιήση σωστά ἐκεῖνα πού θά τοῦ δώσης;

Εἶναι γνωστό πώς γιά πολλούς ὁ πλοῦτος ἀποδείχθηκε ὑπηρέτης ἀκολασίας. Ἤ μήπως δέν ἀκοῦς τόν Ἐκκλησιαστή πού λέει: εἶδα φοβερή διαστροφή κι' ἀρρώστια, δηλ. τόν πλοῦτο πού φυλάγεται στό σπίτι τοῦ πλούσιου νά γίνεται αἰτία κακοῦ γιά τόν ἴδιο; Κι' ἀκόμα; ἀφίνω τόν πλοῦτο στόν ἀπόγονό μου· ποιός ὅμως γνωρίζει ἄν θά βγῆ μυαλωμένος ἤ ἀνόητος; Πρόσεξε λοιπόν καλά μήπως, συγκεντρώνοντας μὲ χίλια βάσανα τόν πλοῦτο, δέν κάνεις τίποτα ἄλλο, παρά νά προετοιμάζης γιά ἄλλους ὑλικό κι' ἀφορμές ν' ἁμαρτήσουν καί στό τέλος βρεθῆς διπλά ἔνοχος τιμωρίας καί γιά τίς ἀδικίες δηλ. πού ὁ ἴδιος διέπραξες γιά νά πλουτίσης καί γιά τά μέσα διαφθορᾶς μέ τά ὁποῖα ἄλλον ἐφοδίασες. Μήπως ἀπό ὁποιοδήποτε παιδί δέν σοῦ εἶναι προσφιλέστερη ἡ ψυχή; Μήπως ἀπό ὅλα δέν σοῦ εἶναι αὐτή περισσότερο συγγενής; Σ' αὐτήν λοιπόν παραχώρησε τά πρωτεῖα τῆς κληρονομιᾶς, πλουσιοπάροχα δός της τά ἐφόδια τῆς αἰώνιας ζωῆς. Κι' ὅταν αὐτό θἄχη γίνει, τότε πιά ἀσχολήσου καί μέ τή μοιρασιά τῆς περιουσίας σου στά παιδιά σου. (Βέβαια ἡ περιουσία σου θά εἶναι τότε κατ' ἀνάγκην μικρή. Τοῦτο ὅμως δέν ἔχει σημασία). Παιδιά πού δέν κληρονόμησαν τίποτα ἀπό τούς γονεῖς τους, δημιούργησαν μόνα τους ὁλόκληρα νοικοκυριά. Ἡ ψυχή σου ὅμως, ὅταν ἀπό σένα τόν ἴδιο ἐγκαταλειφθῆ, ἀπό ποιόν θά βρῆ ἔλεος καί βοήθεια;...

Ο ΠΛΟΥΤΟΣ ΚΑΡΠΟΣ ΠΛΕΟΝΕΞΙΑΣ ΚΙ ΑΡΠΑΓΗΣ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

(Ἀπὸ τὴν ΙΒ΄ ὁμιλία
στὴν Α΄ πρὸς Τιμόθεον ἐπιστολὴ)

ΚΕΙΜΕΝΟ

«... Εἰ γὰρ τὰ βιωτικὰ πράγματα καὶ ἐπίκηρα καὶ φθαρτὰ πόνων χωρὶς καὶ ἱδρώτων οὐδέποτε παραγίνεται τοῖς ἀνθρώποις, πολλῷ μᾶλλον τὰ πνευματικά.

Τί δέ, φησί, τοὺς ἐπιτυγχάνοντας οὐχ ὁρᾷς, τοὺς δι' ὀλίγων πόνων μεγάλα κτησαμένους ἀγαθά; Ποῖα ἀγαθά; χρήματα, καὶ οἰκίας, καὶ πλέθρα γῆς τόσα καὶ τόσα, καὶ ἀνδραπόδων ἀγέλας, καὶ σταθμὸν ἀργυρίου καὶ χρυσίου; ταῦτα λέγεις ἀγαθά, καὶ οὐκ ἐγκαλύπτῃ, οὐδὲ καταδύῃ, ἄνθρωπος περὶ οὐρανοῦ φιλοσοφεῖν προστεταγμένος, καὶ πρὸς τὰ τῆς γῆς κεχηνὼς πράγματα, καὶ ἀγαθὰ καλῶν ἃ μηδενός ἐστιν ἄξια λόγου;

Εἰ ταῦτα ἀγαθά, πάντως καὶ τοὺς κεκτημένους αὐτὰ ἀγαθοὺς δεῖ καλεῖν· ὁ γὰρ ἀγαθόν τι ἔχων, πῶς οὐκ ἀγαθός; Τί οὖν, εἰπέ μοι; ὅταν οἱ κεκτημένοι αὐτὰ πλεονεκτῶσιν, ἁρπάζωσιν, ἀγαθοὺς αὐτοὺς καλέσομεν; Εἰ γὰρ ἀγαθὸν ὁ πλοῦτος, ἀπὸ δὲ πλεονεξίας συνάγεται, ὅσῳ ἂν αὔξηται, τοσούτῳ μᾶλλον τὸν ἔχοντα ἀγαθὸν ποιήσει νομίζεσθαι. Ἆρα



ΕΡΜΗΝΕΙΑ

Ἐάν δηλαδή τά βιοτικά πράγματα τά ὁποῖα καί πρόσκαιρα εἶναι καί φθαρτά δέν ἀποκτῶνται ἀπό τούς ἀνθρώπους χωρίς κόπους καί ἱδρῶτες, πολύ περισσότερο τά πνευματικά.

Ἀλλά τί, θ' ἀντείπη κανείς, δέ βλέπεις τούς πιασμένους οἰκονομικά, αὐτούς πού μέ λίγους κόπους ἀπέκτησαν πολλά ἀγαθά; Ποιά ἀγαθά; Χρήματα καί σπίτια καί στρέμματα γῆς τόσα καί τόσα καί κοπάδια ἀπό δούλους κι' ἀσήμι καί χρυσάφι σέ μεγάλες ποσότητες; Αὐτά ἀποκαλεῖς ἀγαθά καί δέ σκεπάζεις τό πρόσωπό σου ἀπό ντροπή καί δέ ζητᾶς ν' ἀνοίξη ἡ γῆ νά σέ καταπιῆ, πού ἐνῶ σάν ἄνθρωπος ἔχεις προσταχθῆ νά φιλοσοφῆς γιά τόν οὐρανό, ἀποθαυμάζεις μ' ἀνοιχτό τό στόμα γήϊνα πράγματα κι' ἀποκαλεῖς ἀγαθά αὐτά πού εἶναι τελείως ἀνάξια λόγου;

Ἐάν αὐτά εἶναι ἀγαθά, τότε θά πρέπει ὁπωσδήποτε νά ἀποκαλοῦμε καί τούς κατόχους τους ἀγαθούς. Γιατί κάποιος πού ἔχει κάτι τό ἀγαθό, μπορεῖ νά μήν εἶναι κι' ὁ ἴδιος ἀγαθός; Τί λοιπόν, εἰπέ μου; Ὅταν οἱ κάτοχοί τους πλεονεκτοῦν κι' ἁρπάζουν, θά τούς ἀποκαλέσουμε ἀγαθούς; Ἐάν δηλ. εἶναι ἀγαθό πρᾶγμα ὁ πλοῦτος, ὅσο μεγαλώνει, τόσο περισσότερο θά κάμη νά νομίζεται ἀγαθός ὁ κάτοχός του.

οὖν ἀγαθὸς ὁ πλεονεκτῶν; Εἰ δὲ ὁ πλοῦτος ἀγαθός, ὑπὸ δὲ πλεονεξίας αὔξεται, ὅσῳ ἂν πλεονεκτῇ, ἀγαθώτερος ἔσται. Εἶδες τὴν ἐναντίωσιν; Ἀλλὰ ἂν μὴ πλεονεκτῇ, φησί.

Καὶ πῶς ἔνι γενέσθαι; ὀλέθριον γὰρ τὸ πάθος, καὶ οὐκ ἔστιν, οὐκ ἔστι μὴ ἀδικοῦντα πλουτεῖν. Τοῦτο καὶ ὁ Χριστὸς ἀπεφήνατο λέγων, ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας. Τί οὖν, φησιν, ἂν παρὰ πατρὸς δέξηται τὸν κλῆρον; Τὰ ἐξ ἀδικίας συλλεγέντα ἐδέξατο. Οὐ γὰρ δὴ ἀπὸ τοῦ Ἀδὰμ ὁ πρόγονος ἐκείνου πλούσιος ἦν, ἀλλὰ πολλοὺς ἑτέρους εἰκὸς πρὸ ἐκείνου γεγενῆσθαι, εἶτα ἐν τοῖς πολλοῖς εὑρεθῆναί τινα ἀδίκως τὰ τῶν ἄλλων εἰληφότα καὶ καρπούμενον...»

(P.G. 62, 561-2).

Δεδομένου ὅμως ὅτι μέ τήν πλεονεξία συγκεντρώνεται, δέν καταλήγομε στό συμπέρασμα ὅτι εἶναι ἀγαθός ὁ πλεονέκτης; Ἐάν δέ ὁ πλοῦτος εἶναι ἀγαθός, εἶναι δέ γνωστό ὅτι μέ τήν πλεονεξία αὐξάνει, ὅσο πλεονεκτεῖ ὁ κάτοχός του, τόσο περισσότερο ἀγαθός θά εἶναι. Εἶδες τήν ἀντίφαση (στήν ὁποία ὁδηγεῖ ἡ ἄποψη ὅτι ὁ πλοῦτος εἶναι κάτι τό ἀγαθό); Ἀλλ᾽ ἐάν δέν πλεονεκτεῖ, θ᾽ ἀντείπει κανείς. Καί πῶς εἶναι δυνατό νά συμβῆ αὐτό;

Ἐρωτῶ γιατί εἶναι ὀλέθριο τό πάθος τῆς πλουτομανίας καί δέν εἶναι, δέν εἶναι μέ κανένα τρόπο δυνατό νά πλουτῆ κανείς χωρίς ν᾽ ἀδικῆ. Τοῦτο καί ὁ Χριστός τό ἐπιβεβαίωσε λέγοντας: «*Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας*». Τί λοιπόν, θ᾽ ἀντείπη κανείς, μ᾽ ἄδικα μέσα θά ἔχη πλουτίσει ἄν κληρονομήση τόν πλοῦτο ἀπ᾽ τόν πατέρα του; Τά προϊόντα τῆς ἀδικίας κληρονόμησε. Γιατί δέν ἦταν βέβαια πλούσιος ἀπό τήν ἐποχή τοῦ Ἀδάμ ὁ πρόγονός του, ἀλλά φυσικό εἶναι νά ὑποθέσουμε ὅτι πολλοί ὑπῆρξαν πρίν ἀπ᾽ αὐτόν, κάποιος δέ ἀπό τούς πολλούς ἅρπαξε τά ἀγαθά τῶν ἄλλων καί τά καρπώθηκε...



Η ΧΡΙΣΤΙΑΝΙΚΗ ΕΝΝΟΙΑ ΤΗΣ ΚΥΡΙΟΤΗΤΑΣ


ΑΣΤΕΡΙΟΥ ΑΜΑΣΕΙΑΣ

(Ὁμιλία στὸν οἰκονόμο τῆς ἀδικίας
(Λουκ. ΙΣΤ′, 1-13))

ΚΕΙΜΕΝΟ

«Πολλάκις ὑμῖν εἶπον διαλεγόμενος, ὅτι πεπλασμένη τις καὶ ψευδὴς ἔννοια τοῖς ἀνθρώποις ἐμπεσοῦσα, πληθύνει τὰ ἁμαρτήματα, καὶ ἐλαττοῖ τὰ ἀγαθά, ἅπερ ἕκαστος ὀφείλομεν ἐπὶ τῆς ἑαυτῶν πολιτείας ἀσκεῖν. Αὕτη δὲ ἐστιν τὸ νομίζειν, ὅτι πάντα ὅσα ἔχομεν ἐν τῇ χρήσει τοῦ βίου, ὡς κύριοι κεκτήμεθα καὶ δεσπόται. Καὶ ταύτης ἕνεκεν τῆς ὑπολήψεως, σφοδρῶς ὑπὲρ αὐτῶν διαμαχόμεθα, καὶ πολεμοῦμεν, καὶ δικαζόμεθα, καὶ εἰς ἄκρον αὐτῶν περιερχόμεθα, ὡς ἐξαιρέτων κτημάτων.

Ἡ δὲ ἀλήθεια οὐχ οὕτως ἔχει· ἀλλὰ καὶ σφόδρα ἐναντίως. Πάντα γὰρ ὧν ἀπολάβομεν, οὐχ ἡμέτερα· οὔτε μὴν ἡμεῖς, ὡς αὐθένται καὶ κύριοι, τῷ βίῳ τούτῳ, ὡς ἡμετέρα οἰκία, ἐνωκίσθημεν· ἀλλ' ὡς πάροικοι, καὶ ἐπήλυδες, καὶ μετα-



ΕΡΜΗΝΕΙΑ

Πολλές φορές, μιλώντας, σᾶς εἶπα ὅτι κάποια πλαστή καί ψεύτικη ἰδέα καρφώθηκε στό μυαλό τῶν ἀνθρώπων, ἡ ὁποία πληθαίνει τά ἁμαρτήματα καί ἐλαττώνει τίς καλές πράξεις πού ὁ καθένας μας ὀφείλει ν᾽ ἀσκῆ μέ τήν ὅλη συμπεριφορά του. Καί ἡ ἰδέα αὐτή εἶναι τό νά νομίζουμε ὅτι ὅλα ὅσα χρησιμοποιοῦμε στή ζωή μας τά ἐξουσιάζομε σάν κύριοι κι᾽ αὐθέντες. Καί ἐξ αἰτίας αὐτῆς τῆς ἐσφαλμένης ἀντιλήψεως διαπληκτιζόμεθα ἄγρια γι᾽ αὐτά καί φιλονεικοῦμε καί καταφεύγομε στά δικαστήρια καί συγκεντρώνομε ὅσο μποροῦμε περισσότερα ἀπ᾽ αὐτά σά νά ἐπρόκειτο γιά ἐξαιρετικῆς σημασίας ἀποκτήματα.

Ἡ ἀλήθεια ὅμως ὄχι μόνο δέ συμφωνεῖ, ἀλλά εἶναι καί τελείως ἀντίθετη. Ὅλα δηλαδή ὅσα ἀπολαμβάνομε δέν εἶναι δικά μας. Οὔτε καί μεῖς ἀκόμα οἱ ἴδιοι δέν εἴμαστε ἐγκατεστημένοι μέ τήν ἰδιότητα τοῦ κύριου καί τοῦ ἀφθέντη σέ τούτη ἐδῶ τή ζωή σά σέ δικό μας σπίτι. Ἀλλά σάν πάροικοι καί ξενομερίτες καί μετανάστες, ὁδηγούμεθα ἐκεῖ ὅπου δέν θέλομε κι᾽ ὅταν δέν τό περιμένομε. Ἀποχωριζόμεθα δέ ἀπό τά ὑπάρχοντά μας ὅταν τό θελήση ὁ Θεός, ὁ κύριος τῆς κτίσεως. Γι᾽ αὐτό καί εἶναι εὐκολομετάβλητο πρᾶγμα ἡ πρόσκαιρη τούτη ζωή. Κι᾽ αὐτός πού θεωρεῖται σήμερα ἔνδοξος, αὔριο

νάσται, ἀγόμεθα ὅπου οὐ θέλομεν καὶ ἡνίκα οὐ προσδοκῶμεν. Ἀφαιρούμεθα δὲ τῶν ὄντων, ὅταν δόξῃ τῷ Κυρίῳ τῆς κτίσεως. Διὸ καὶ εὐμετάβολον χρῆμά ἐστιν τὸ τῆς ἐπικήρου ταύτης ζωῆς· καὶ ὁ σήμερον ἔνδοξος, αὔριον ἐλεεινός, οἴκτου καὶ βοηθείας ἄξιος· ὁ νῦν εὔπορος καὶ εὐθυνούμενος ταῖς ὕλαις τοῦ πλούτου, πένης μετὰ μικρόν, οὐδὲ τὸν ἄρτον οἴκοθεν ἔχων, ὃν προσφέρηται εἰς ζωήν. Καὶ τούτῳ μάλιστα ὁ Θεός ἡμῶν, τῶν θνητῶν ὑπερέχει, τῷ ἀεὶ ὁ αὐτὸς εἶναι, καὶ ὡσαύτως ἔχειν, καὶ ἀναφαίρετον κεκτῆσθαι, ζωήν, καὶ δόξαν, καὶ δύναμιν...

...Πάροικος γὰρ εἶ, ὀλιγοχρονίου χρήσεως καὶ παροδικῆς λαβὼν συγχώρησιν. Εἰ ἀμφιβάλλεις, ἐπὶ τοῖς γνωρίμοις κατάμαθε τὰ γινόμενα, καὶ τῇ ἀψευδεῖ διδασκάλῳ, τῇ πείρᾳ, παιδεύθητι.

Κέκτησαι χωρίον, ἢ παρὰ πατέρων λαβών, ἢ ἀπὸ τινὸς συναλλάγματος κύριος γεγονώς. Ἀναλόγισαι οὖν τῇ μνήμῃ καὶ ἀπαρίθμησαι πάντας, εἰ δύνασαι, τοὺς πρὸ σοῦ κατεσχηκότας αὐτό· ἐπίβαλλε δὲ καὶ τῷ μέλλοντι χρόνῳ τὸν νοῦν, καὶ πόσοι αὐτοῦ κυριεύουσι μετὰ σὲ κατανόησον. Φράσον δέ μοι, τίνος ἡ δεσποτεία, καὶ τίσι κατ' ἐξαίρετον διαφέρουσα τοῖς ἐσχηκόσι, τοῖς ἔχουσιν, ἢ τοῖς μέλλουσιν; Εἰ γάρ τις ἐκ μηχανῆς πάντας ἀθροίσειεν, εὑρεθήσονται πλείους τῶν βώλων οἱ κεκτημένοι. Μᾶλλον δέ, εἴπερ ἀκριβῶς βούλει κατιδεῖν τίνι παρόμοιος ὁ βίος ἡμῶν μνημόνευσον εἴποτε ὥρᾳ θέρους ὁδοιπορῶν, ἐθεάσω δένδρον ἀμφιθαλές, ἐπὶ πολὺ τοῦ πλάτους καὶ τοῦ μήκους διῆκον, ἱκανὸν τῇ σκιᾷ οἰκίας πληρῶσαι χρείαν. Τούτῳ τερφθεὶς ὑπῆλθες,

καταντάει ἐλεεινός, ἄξιος οἴκτου καί βοήθειας· αὐτός πού τώρα εἶναι εὔπορος καί διαθέτει ἄφθονα πλούτη, σέ λίγο μεταβάλλεται σέ ζητιάνο πού δέν ἔχει ἀπό δικούς του πόρους οὔτε τό ἀπαραίτητο ψωμί γιά νά συντηρηθῆ στή ζωή. Καί κατά τοῦτο κυρίως διαφέρει ὁ Θεός ἀπό μᾶς τούς θνητούς, κατά τό ὅτι δηλαδή εἶναι πάντοτε ὁ ἴδιος κι᾽ ἀπαράλλαχτος καί διαθέτει ἀναφαίρετη ζωή καί δόξα καί δύναμη...

...Προσωρινός εἶσαι πάνω στή γῆ, στά ἀγαθά τῆς ὁποίας σοῦ ἔχει παραχωρηθῆ ἁπλό δικαίωμα χρήσεως κι᾽ αὐτό τόσο σύντομο καί παροδικό. Ἐάν ἀμφιβάλλεις γι᾽ αὐτό, πᾶρε γνωστά σου παραδείγματα καί μελέτησε καλά τά συμβάντα καί διδάξου ἀπό τόν ἀλάνθαστο δάσκαλο, τήν πείρα.

Ἔχεις ἕνα χωράφι τό ὁποῖο εἴτε κληρονόμησες ἀπό τούς προγόνους σου, εἴτε ἀπόκτησες μέ κάποια συναλλαγή. Ἀναλογίσου λοιπόν καί λογάριασε, ἄν μπορεῖς, ὅλους ἐκείνους πού τό ἐξουσίασαν πρίν ἀπό σένα· μετάθεσε δέ τή σκέψη σου καί στό μέλλον καί συλλογίσου πόσοι πρόκειται μετά ἀπό σένα νά τό ἐξουσιάσουν. Πές μου τώρα σέ ποιόν ἀνήκει ἡ κυριότητα; Ποιῶν ἡ κυριότητα διαφέρει οὐσιαστικά ἀπό τήν κυριότητα τῶν ἄλλων; Ἐκείνων πού τό εἶχαν στό παρελθόν, ἐκείνων πού τώρα τό ἔχουν, ἤ ἐκείνων πού θά τό ἔχουν μελλοντικά; Ἐάν δηλαδή τούς συγκεντρώση κανείς ὅλους μέ μιᾶς, θά βρεθοῦν περισσότεροι κι᾽ ἀπό τούς βόλους τοῦ χωραφιοῦ οἱ κάτοχοί του. Κι᾽ ἀκόμα, ἄν θέλεις ν᾽ ἀντιληφθῆς ἀκριβῶς μέ τί εἶναι παρόμοια ἡ ζωή μας, θυμήσου ὅταν κάποτε, σέ περίοδο θέρους, ὁδοιπορώντας, εἶδες δένδρο μέ πυκνό καί πλούσιο φύλλωμα, ἱκανό ν᾽ ἀναπληρώση μέ τή σκιά του τήν ἀνάγκη σπιτιοῦ. Εὐχαριστημένος ἀπό τή θέα του, ἦλθες ἀπό κάτω καί, γιά ὅσο χρόνο σοῦ ἦταν δυνατό, παρέμεινες ἐκεῖ. Ὅταν δέ ἦλθε ἡ στιγμή τῆς ἀναχωρήσεως κι᾽ ἐνῶ θά ἤθελες μόλις τότε νά φθάνης στό δένδρο, ἄλλος ὁδοιπόρος κατέφθασε. Καί σύ μέν φόρτωνες τίς ἀποσκευές σου, ἐνῶ ἐκεῖνος κατέβαζε τίς δικές του, καί μέ μιᾶς δια-

καί, ἐφ' ὅσον ἐξῆν, ἐκεῖσε κατέμεινες. Ἐπεὶ δὲ ἔδει πάλιν ἀπᾶραι, καὶ σοῦ βουλομένου τὴν ἄφιξιν, ἕτερος ὁδοιπόρος ἐπέστη. Καὶ σὺ μὲν ἐφόρτους τὴν ἀποσκευήν· ὁ δὲ τὴν ἰδίαν καθῄρει, καὶ πάντα τὰ σὰ ἀθρόον διεδέξατο, τήν στιβάδα, τὸ πῦρ, τὴν τοῦ δένδρου σκιάν, τὸ παραῤῥέον ὕδωρ. Καὶ ὁ μὲν εἴχετο τῆς κατακλίσεως· σὺ δέ, τοῦ περιπάτου. Ἐτέρφθη κἀκεῖνος, εἶτα ἀφῆκεν· καὶ τὸ ἓν δένδρον ἐπὶ μιᾶς ἡμέρας ἐγένετο τάχα δέκα ξένων ὀλιγοχρόνιον καταφύγιον· καὶ τὸ πάντων γενόμενον, ἑνὸς ἦν τοῦ ὄντος κυρίου.

Οὕτωσὶ δὲ καὶ αἱ περιουσίαι τῆς ἐνταῦθα διαγωγῆς, τέρπουσι μὲν πολλοὺς καὶ τρέφουσι· τῆς δεσποτείας μόνῳ τῷ Θεῷ προσηκούσης, τῷ ἄφθαρτον καὶ ἀνώλεθρον ἔχοντι τὴν ζωήν. Ἐθεάσω καὶ πανδοχεῖον, ἐφ' οὗ πάντως ὁδεύων κατέλυσας· ἔλαβες δὲ ἐκεῖθεν πολλά, βαστάζων μηδέν, κλίνην, τράπεζαν, ἐκπώματα, πίνακα, ἄλλα σκεύη παντοδαπά. Οὐδέπω δὲ που πρὸς αὐτάρκειαν χρησαμένου, ἦκεν ἄλλος πνευστιῶν, κεκονιαμένος κατεπείγων σε καὶ ἐξείρων τοῦ πανδοχείου, καὶ ζητῶν τὰ ἀλλότρια ὡς ἐξαίρετα.

Τοιοῦτος ἡμῶν ὁ βίος, ἀδελφοί, καὶ εἴτι τῶν λεχθέντων παροδικώτερον. Ἐγὼ δὲ θαυμάζω τοὺς λέγοντας· Τὸ χωρίον μου· καί, ἡ οἰκία μου· ὅπως ματαίῳ συλλαβῇ ἐξοικειοῦνται τὰ μὴ προσήκοντα, καὶ τρισὶ στοιχείοις ἀπατηλοῖς ἐναγκαλίζονται τὰ ἀλλότρια. Ὡς γὰρ τὰ τῶν θαυματοποιῶν προσωπεῖα, ἔχει μὲν οὐδεὶς κατ' ἐξαίρετον, πάντες δὲ ἐπιτίθενται οἱ τῶν δραμάτων ὑποκριταί· οὕτω τὴν γῆν καὶ τὰς ἀπ' ἐκείνης ὕλας, ἄλλοι ἐξ ἄλλων ὡς ἱμάτια μετενδύονται».

(P.G. 40, 180-184).

δεχόταν ὅλα ὅσα μέχρι πρίν ἀπό λίγο ἦσαν δικά σου, δηλ. τό χορταρένιο στρῶμα, τή φωτιά, τή σκιά τοῦ δένδρου, τό τρεχούμενο ἐκεῖ κοντά νερό. Κι᾽ ἐκεῖνος μέν ἑτοιμαζόταν νά ξαπλώση, σύ δέ ξανάρχιζες τήν ὁδοιπορία. Ξεκουράσθηκε κι᾽ ἐκεῖνος καί τά ἐγκατέλειψε μετά ὅλα· καί τό ἕνα δένδρο ἔγινε μέσα σέ μιά μέρα γιά δέκα ξένους ὀλιγοχρόνιο καταφύγιο· κι᾽ αὐτό πού περιῆλθε διαδοχικά στήν κατοχή ὅλων, ἀνῆκε σ᾽ ἕνα μόνο πραγματικό κύριο.

Τό ἴδιο ἀκριβῶς συμβαίνει καί μέ τίς περιουσίες πού χρησιμοποιοῦμε στό πέρασμά μας ἀπό τήν παροῦσα ζωή. Τέρπουν μέν πολλούς καί τούς τρέφουν, ἡ κυριότητα ὅμως πάνω σ᾽ αὐτές ἁρμόζει μόνο στό Θεό, τοῦ ὁποίου ἡ ζωή εἶναι ἄφθαρτη κι᾽ ἀθάνατη. Θἄτυχε νά δῆς καί πανδοχεῖο στό ὁποῖο ὁπωσδήποτε σέ κάποια ὁδοιπορία σου θά κατέλυσες. Δέχθηκες λοιπόν ἐκεῖ πολλά πράγματα, ἐνῶ δέν κρατοῦσες μαζί σου τίποτα, δηλ. κρεβάτι, τραπέζι, κύπελλα, πιάτα καί διάφορα ἄλλα σκεύη. Προτοῦ ὅμως καλά-καλά τά χρησιμοποιήσης γιά τίς ἀνάγκες σου, κατέφθασε ἄλλος λαχανιασμένος, σκονισμένος πού σέ βίαζε ἐπίμονα νά βγῆς ἀπό τό πανδοχεῖο καί ζητοῦσε τά ξένα πράγματα σάν ἀποκλειστικά δικά του.

Τέτοια εἶναι ἡ ἐπίγεια ζωή μας, ἀδελφοί, κι᾽ ἀπό ὅ,τι τήν περιγράψαμε ἀκόμα πιό παροδική. Ἐγώ δέ θαυμάζω αὐτούς πού λένε: τό χωράφι μου καί τό σπίτι μου, θαυμάζω πῶς μέ μία μάταιη συλλαβή (ὅπως εἶναι ἡ λέξη μου) ἰδιοποιοῦνται πράγματα πού δέν τούς ἀνήκουν καί μέ τρία ἀπατηλά γράμματα (αὐτά πού σχηματίζουν τό μου) ἀγκαλιάζουν τά ξένα πράγματα. Ὅπως δηλαδή οἱ προσωπίδες πού χρησιμοποιοῦνται στά θέατρα δέν ἀνήκουν ἀποκλειστικά σέ κανένα, ἀλλά τίς φορᾶνε ἐκ περιτροπῆς ὅλοι οἱ ἠθοποιοί, ἔτσι καί τή γῆ καί τά προϊόντα πού προέρχονται ἀπ᾽ αὐτήν, ὁ ἕνας κατόπιν τοῦ ἄλλου τά ἐγκαταλείπουν οἱ ἄνθρωποι, ἀλλάζοντάς τα ὅπως ἀλλάζουν ἐνδύματα.

Όλα είναι κοινά

Ιωάννου του Χρυσοστόμου

(Ἀπὸ τὴν 10η ὁμιλία
στὴν Α΄ πρὸς Κορινθίους)

ΚΕΙΜΕΝΟ

«... Πάντα γὰρ παρὰ τοῦ Χριστοῦ ἔχομεν· καὶ αὐτὸ τὸ εἶναι καὶ τὸ ἀναπνεῖν, καὶ τὸ φῶς καὶ τὸν ἀέρα καὶ τὴν γῆν· κἂν ἀποκλείσῃ τι τούτων, ἀπωλόμεθα καὶ διεφθάρημεν· πάροικοι γὰρ ἐσμεν καὶ παρεπίδημοι. Τὸ δὲ ἐμὸν καὶ τὸ σὸν τοῦτο ῥήματά ἐστι ψιλὰ μόνον· ἐπὶ δὲ πραγμάτων οὐχ ἕστηκε. Καὶ γὰρ εἰ τὴν οἰκίαν σὴν εἶναι φής, ῥῆμά ἐστι πράγματος ἔρημον. Καὶ γὰρ καὶ ὁ ἀὴρ καὶ γῆ καὶ ὕλη τοῦ Δημιουργοῦ, καὶ σὺ δὲ αὐτὸς ὁ κατασκευάσας αὐτήν, καὶ τὰ ἄλλα δὲ πάντα. Εἰ δὲ ἡ χρῆσις σή, ἀλλὰ καὶ αὐτὴ ἄδηλος, οὐ διὰ τὸν θάνατον μόνον, ἀλλὰ καὶ πρὸ τοῦ θανάτου διὰ τὸ τῶν πραγμάτων εὐρίπιστον. Ταῦτ' οὖν συνεχῶς παρ' ἑαυτοῖς γράφοντες, φιλοσοφήσωμεν, καὶ δύο τὰ μέγιστα κερδανοῦμεν· εὐχάριστοί τε γὰρ ἐσόμεθα καὶ ἔχοντες καὶ ἀφαιρούμενοι, καὶ οὐ μὴ δουλεύσωμεν τοῖς παρατρέχουσι καὶ τοῖς οὐχ ἡμῶν...



ΕΡΜΗΝΕΙΑ

